Δήσεις, φυλάξεις, ἐν Πρυτανείῳ λαικάσεις.
Αλ. Ἐγώ; Δη. σὺ μέντοι, κοὐδέπω γε πάνθ' ὁρᾷς,
Ἀλλ' ἐπανάβηθι, κἀπὶ τοὐλεὸν τοδί,
Καὶ κάτιδε τὰς νήσους ἁπάσας ἐν κύκλῳ.
Αλ. Καθορῶ. Δη. τί δαί; τἀμπόρια, καὶ τὰς ὁλκάδας;
Αλ. Ἔγωγε. Δη. πῶς οὖν οὐ μεγάλως εὐδαιμονεῖς;
Ἔτι νῦν τὸν ὀφθαλμὸν παράβαλλ' εἰς Καρίαν
Τὸν δεξιὸν, τὸν δ' ἕτερον εἰς Καρχηδόνα.
Αλ. Εὐδαιμονήσω γ', εἰ διαστραφήσομαι;
Δημοσθ. Οὔκ, ἀλλὰ διὰ σοῦ ταῦτα πάντα πέρναται.
Γίγνει γὰρ, ὡς ὁ χρησμὸς οὑτοσὶ λέγει,
Ἀνὴρ μέγιστος. Αλ. εἰπέ μοι καὶ πῶς ἐγὼ
Ἀλλαντοπώλης ὢν, ἀνὴρ γενήσομαι.
Δη. Δι' αὐτὸ γάρ τοι τοῦτο καὶ γίγνει μέγας.
Ὁτιὴ πονηρὸς, κἀξ ἀγορᾶς εἶ, καὶ θρασύς.
Αλ. Οὐκ ἀξιῶ 'γὼ 'μαυτὸν ἰσχύειν μέγα.
Δημοσθ. Οἴμοι, τί ποτ' ἔσθ', ὅτι σαυτὸν οὐ φῄς ἄξιον;
Ξυνειδέναι τί μοι δοκεῖς σαυτῷ καλόν;
Μῶν ἐκ καλῶν εἶ κἀγαθῶν; Αλλαν. μὰ τοὺς θεούς,
Εἴμ' ἐκ πονηρῶν γ'. Δημοσθ. ὦ μακάριε τῆς τύχης,
Οἷον πέπονθας ἀγαθὸν εἰς τὰ πράγματα;
Αλ. Ἀλλ' ὦγαθ', οὐδὲ μουσικὴν ἐπίσταμαι,
Πλὴν γραμμάτων, καὶ ταῦτα μέντοι κακὰ κακῶς.
Δημοσθ. Τουτί σε μόνον ἔβλαψεν, ὅτι κακὰ κακῶς,
Ἡ δημαγωγία γὰρ οὐ πρὸς μουσικοῦ
Ἔτ' ἐστὶν ἀνδρὸς, οὐδὲ χρηστοῦ τοὺς τρόπους,
Ἀλλ' εἰς ἀμαθῆ καὶ βδελυρόν. ἀλλὰ μὴ παρῇς,
Ἅ σοι διδόασ' ἐν τοῖς λογίοισιν οἱ θεοί.
Αλ. Πῶς δῆτα φήσ' ὁ χρησμός; Δημοσθ. εὖ νὴ τοὺς θεούς,

A *In Prytanæo scortum accubabis molliter.*
*AG. Egon? DE. tute ergo: necdum vidisti omnia:*
*Verùm conscende mensam istam fartoriam,*
*Et insulas circumcirca omnes dispice.*
*AG. Video. DE. quid? emporia, & naues onerarias?*
*AG. Video. DE. quomodo igitur non habeas optime?*
B *Nunc oculum dextrum detorque hinc in Cariam,*
*Sinistrum vero isthanc versus Carthaginem.*
*AG. An fortunatus ero, si oculos distorsero?*
*DE. Non, sed per te vendentur isthæc omn .*
*Fies enim, sicut vult hoc oraculum,*
*Vir maximus. AG. dic obsecro, quo pacto ego,*
*Qui fartor sum, vir possim fieri maximus?*
C *DE. At propter hoc ipsum fies vir maximus,*
*Quòd malus es, & audax, vnúsque è foro.*
*AG. Ego memet indignum iudico, qui sim potens.*
*DE. Eheu, quid hoc rei, quòd te indig um esse ais?*
*Videre mihi aliquid conscire tibi boni.*
*Vtrum è bonis ac probis? AG. non per Deos,*
D *Ego sum malorum vnus. DE. felicem te virum,*
*Quantum igitur adiumenti ad agendas es habes?*
*AG. At ego, vir bone, nullam artem didici Musicam,*
*Præterquàm literas, & malè quidem has malas.*
E *DE. Et hoc nocuit tibi vnicè, quòd male malas.*
*Nam nihil ad doctos pertinet Respublica,*
*Nihil ad probos sed ad impuratos & rudes.*
*Modò ne spernas, quæ Dij dant tibi in oraculis.*
*AG. Quid igitur ait oraculum? DE. bene per Deos.*

Σχόλια. Ἐν Πρυτανείῳ] Πρυτανεῖον οἰκίσκος παρὰ τοῖς Ἀθηναίοις, ἔνθα σιτοῦνται δημοσίᾳ οἱ τῆς τοιαύτης τιμῆς παρ' αὐτοῖς τυχόντες. περισπούδαστον δὲ ἦν τῆς δωρεᾶς τυχεῖν. ἐπὶ γὰρ μεγάλοις κατορθώμασι, τὴν τοιαύτην ἀπεδίδοσαν χάριν. Λαικάσεις.] δέον εἰπεῖν σιτήσεις. ἢ ἐν Πρυτανείῳ ἀριστήσεις. παρ' ὑπόνοιαν οὖν εἶπεν ὡς ἐν κωμῳδίᾳ, ἀντὶ τοῦ πορνεύσεις. ὅθεν καὶ λαικάστρια ἡ πόρνη.

F

Bisetus. Λαικάσεις] λαικάζειν, ὥς φησιν Εὐστάθιος, τὸ πορνεύειν, παρὰ τὸ λα ἐπιτατικὸν, καὶ τὸ κάζειν, τὸ κοσμεῖν. ὅθεν λαικάστρια, ἡ πόρνη, διὰ τὸν περιττότερον κόσμον, καὶ καλλοπισμὸν πρὸς τὸ ἐφέλκειν τοὺς ἐραστάς.

G

Σχόλια. Ἐν κύκλῳ.] ἀπὸ τοῦ συμβεβηκότος καὶ αὐτὸς ὠνόμασε. βουλόμενος δηλῶσαι τὰς κυκλάδας νήσους κύκλῳ κειμένας. φησὶν οὖν περίβλεπε. καὶ γὰρ τούτων ἄρξεις. ὁλκάδας δὲ τὰς ναῦς ἀπὸ τοῦ ἕλκειν. Καρχηδόνα.] παίζει πρὸς τὸ ἐνταῦθα κἀκεῖσε ὅρα. ἡ μὲν γὰρ Καρία, πρὸς ἕω. ἡ δὲ πρὸς δύσιν, ἡ Καρχηδὼν ἡ λεγομένη Καρταγένα. λέγει δὲ τὴν δύσιν. διαστραφήσομαι δὲ στρεβλωθήσομαι τοὺς ὀφθαλμούς. ἐπεὶ εἶπε στράφηθι. Πέρναται.] πιπράσκεται. δέον εἰπεῖν διοικεῖται. ὁ δὲ εἶπε πέρναται πικρῶς. τουτέστι πιπράσκεται. Κἀξ ἀγορᾶς εἶ.] πάλιν διὰ τούτου δεικνύναι βούλεται, ὅτι ὑπὸ τῶν πονηροτάτων διοικεῖται τὰ τῶν Ἀθηναίων πράγματα. καὶ ὅτι μάλιστα εὐδοκιμοῦσιν οἱ τοιοῦτοι παρ' αὐτοῖς ὥσπερ καὶ ὁ Κλέων. Οὐκ ἀξιῶ.] οὐχ ὑπολαμβάνω οὐκ ἄξιον κρίνω. Οἷον πέπονθας ἀγαθόν.] ὑπάρχεις εἰς τὸ πλεονέκτημα ἔχεις. γράφεται καὶ ὅσον. Οὐδὲ μουσικὴν ἐπίσταμαι] ὅτι μουσικὴν τὴν ἐγκύκλιον παιδείαν φησί. γράμματα δὲ τὰ πρῶτα στοιχεῖα. δεῖ δὲ τοὺς διερχομένους διὰ γραμμάτων παιδεύεσθαι. ἡ γὰρ παιδεία τοὺς ἀτόπους ἐκτρέπει λογισμούς. Πλὴν γραμμάτων.] οἱ γὰρ ἀξιώματος ἀντιποιούμενοι τὴν ἐγκύκλιον μάλιστα ἐπαιδεύοντο παιδείαν. ἡ δὲ ἐγκύκλιος παιδεία,